UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Palladio Diacono. 216.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

διὰ τῆς γλώττης, εἰ χρεία καλέσειε, φράζειν, διισχυριζόμενον ἐκ τῶν τῆς προνοίας ἔργων, ὅτι ἐστὶν, οὐ τί ἐστι πολυπραγμονοῦντα. τὸ μὲν γὰρ ἐφικτὸν καὶ ἁλώσιμον, τὸ δὲ ἀνέφικτον καὶ ἀθήρατον.

loquar, nullo modo exponi queunt, apud auditores per linguam, ſi ita opus ſit, eloqui oportet: quòd Deus ſit, ex operibus aſſerentem, quid autem ſit minimè perſcrutantem. Illud enim conſequi atque comprehendere poſſumus: hoc autē captum omnem & cōprehenſionē excedit.

Ἥρωνι σχολαστικῷ. σιε.

*Heroni Scholaſtico.* 215.

Οἱ τέχνῃ λόγων τἀληθὲς συσκιάζοντες, πολλῷ μοι δοκοῦσι τῶν τοῦτο μὴ κατειληφότων ἀθλιώτεροι εἶναι. οἱ μὲν γὰρ διὰ βραδυτῆτα γνώμης ἀπολειφθέντες τῆς θήρας, ἴσως συγγνωστοί. οἱ δὲ δι᾽ ὀξύτητα μὲν γνώμης τοῦτο θηρεύσαντες, κακούργως δὲ τοῦτ᾽ ἀφανίζοντες, συγγνώμης ἁμαρτάνουσι μείζονα.

Qui ſermonum artificio veritatem obnubunt, multò mihi miſeriores iis eſſe videntur, qui eam minimè perceperunt. Nā qui ob ingenij tarditatem eam haudquaquam aſſecuti ſunt, iis fortaſſe venia tribui poſſit. Qui autem ob mentis acumen eam indagarunt, malitioſo autem ac veteratorio animo ex hominū oculis ſubduxerunt, grauiùs peccāt, quā vt ipſis ignoſci debeat.

Παλλαδίῳ διακόνῳ. σις.

*Palladio Diacono.* 216.

Οἱ μὴ συνέντες τὴν γνώμην τὴν ἀποστολικὴν, μηδὲ τὸ βάθος τῆς σοφίας κατοπτεύσαντες, τὸ παρερμηνεύειν τὰ ἀποστολικὰ θεσπίσματα ἀκίνδυνον ἡγούμενοι, κινδυνεύουσιν εἰς ἀλογίαν ἐκπεπτωκέναι. τί γὰρ ὑπὸ φιλαρχίας μεθύοντες φράζουσι, γέγραπται, εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. τὸ μὲν οὖν γεγράφθαι τοῦτο, οὐκ ἂν ἀρνησαίμην. τὸ δ᾽ οὕτω νοεῖσθαι, ὡς οὗτοι βούλονται, παραγράψαιμι. μάλιστα γὰρ καὶ πρὸ τῆς ἑρμηνείας, δεινὰ τὰ ἑπόμενα τοῖς εἰρημένοις, ἀναστεῖλαι τοὺς πολλοὺς τῆς τοιαύτης ἐπιθυμίας. οὐ γὰρ πάντων τὸ δύνασθαι τοιαύτης ἀρχῆς ἀντιλαβέσθαι, ἥτις καὶ βασιλείας ἐστὶν ὑψηλοτέρα. ἡ μὲν γὰρ τὰ θεῖα, ἡ δὲ τὰ ἐπίγεια διέπει πράγματα. ἀλλ᾽ ὀλίγων κομιδῆ, οἳ τοσοῦτον τῶν ἀρχομένων δίκαιοι ἂν εἶεν διαφέρειν, ὅσον οἱ ποιμένες τῶν προβάτων, ἵνα μηδὲν εἴπω πλέον. τί οὖν φησί. δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικὸν, ἀνεξίκακον,

Qui Apoſtolicam mentem minimè intellexerunt, nec ſapientiæ penetralia conſpicati ſunt, dum Apoſtolica oracula ſiniſtra interpretatione deprauare minimè periculoſum eſſe cenſent, in væcordiam decidiſſe videntur. Quidnam enim eſt, quod dominandi cupiditate temulenti dicunt? Scriptum eſt, Si quis Epiſcopatum deſiderat, bonum opus deſiderat. Ego verò, quin hoc ſcriptum ſit, haud quidem inficias ierim: quòd autem ita, vt ipſis placet, intelligendum ſit, planè repudiem. Maximè enim, prius etiam quàm ad explanationē accedam, ea, quæ poſt hæc verba ſequuntur, ad multos ab hac cupiditate reprimēdos ſatis magnā vim habent. Neque enim cuiuſlibet hominis eſt imperiū huiuſmodi arripere, quod regnum quoque antecellit: (illud quippe diuina, hoc humana moderatur:) verùm paucorum admodum, quos non minùs iis, quibus præſunt, quàm paſtores ouibus, ne quid amplius dicam, pręſtare æquū fuerit. Quid igitur ait? Oportet igitur Epiſcopum irreprehenſibilem eſſe, ſobrium, pudicum, modeſtum, hoſpitalē, doctorem, patientem, non vinolentum,

non percussorem, sed mansuetum, non litigiosum, non auarum, domui suæ bene præpositum, filios habentẽ subditos cum omni grauitate. Si quis autem domui suæ præesse nescit, quomodo Ecclesiæ Dei curam habebit? Non neophytum: ne in superbiam elatus in iudiciũ incidat diaboli. Ecquid autem horum à plerisque (quorũ numerum ipse quoque auges) præstitum est, vt rem, quæ ipsorum captum superat, expetant? An ea ipsorum vita est, in quam nulla reprehensio cadat? An ea vigilantia sunt, vt animi oculum insomnem habeãt? An pudicitiæ laude ita exsplenduerunt, vt non modò integram atque incolumem mentem habeant, verùm etiam eos, qui in impuros concubitus tanquam œstro quodam ac furore præciti feruntur, vel tacentes ad meliorem mentẽ reuocent? An tanta ipsis modestia inest, vt & ex ipso incessu & aspectu, & ex ipsa voce, spectatoribus terrorem iniicere queant? (siquidem ij, qui Episcopatum nacti sunt, non secus atque vniuersæ philosophiæ simulachrum spectandos sese præbere debent.) An vsqueadeò hospitales sũt, vt ignotos etiam pauperes domum ad epulas inuitent? An doctrinæ sermonem studio ac meditatione ita consecuti sunt, vt etiam cælestis gratia ad arcanorum ac spiritualium sermonum fontes in ipsorum lingua collocarit? An ea in ipsis mansuetudo ac morũ facilitas emicuit, vt nunquam aduersus quenquam debacchati sint? An à pecuniarum amore ita abhorrent, vt honestis etiam ac iustis rationibus partas facultates egentibus distribuerint? An ea patientia præditi sunt, vt eos etiam, à quibus sine vlla causa contumeliis afficiuntur, & accusantur, perferant? An denique alia ea ipsis ornamenta præstò sunt, quæ Paulus, optimum Pastorem pingens, exposuit? Quidnam, quæso, est, quod eos in tantum furorem præcipites egit? Nam pro eo atque præclarè secũ actum putare debebãt, quòd in subditorũ classe censentur (taceo enim quòd ea quoque, siquid eorum, quæ oporteret, facerẽt, ob sua flagitia exturbari mererentur) ipsi

μὴ πάροινον, μὴ πλήκτην, ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται; μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου. τί τούτων κατορθώσαντες οἱ πολλοί, ὧν εἷς καὶ αὐτὸς τυγχάνεις, ἐρῶσι πράγματος αὐτοῖς ἀνεφίκτου, ἀνεπίληπτον ἔχουσι βίον; ἀλλὰ τοσαύτη πρόσεστιν αὐτοῖς νῆψις, ὡς ἀκοίμητον ἔχειν τὸ τῆς ψυχῆς ὄμμα; ἀλλὰ σωφροσύνῃ τοσοῦτον διέλαμψαν, ὡς μὴ μόνον σώας ἔχειν τὰς φρένας, ἀλλὰ καὶ τοὺς οἰστρῶντας καὶ μαινομένους περὶ τὰς ἀκαθάρτους μίξεις, καὶ σιγῶντας σωφρονίζειν; κοσμιότης δὲ αὐτοῖς τοσαύτη πρόσεστιν, ὡς καὶ ἀπὸ τοῦ βαδίσματος, καὶ ἀπὸ τοῦ βλέμματος, καὶ ἀπὸ τῆς φωνῆς καταπλήττειν δύνασθαι τοὺς ὁρῶντας; ὡς γὰρ ἄγαλμα φιλοσοφίας ἁπάσης, τοὺς τὴν ἐπισκοπὴν λαχόντας πανταχοῦ φαίνεσθαι χρή· ἀλλὰ φιλόξενοι τοσοῦτον εἰσίν, ὡς καὶ τοὺς ἀγνῶτας πένητας οἴκαδε καλεῖν ἑστιασομένους; ἀλλὰ τὸν διδασκαλικὸν οὕτως ἐκ μελέτης κατώρθωσαν λόγον, ὡς καὶ τὴν ἄνωθεν αὐτοῖς ἐπιφοιτῆσαι χάριν, καὶ πηγὰς λόγων πνευματικῶν ἐν τῇ γλώττῃ κατοικῆσαι; ἀλλ' ἐπιεικείᾳ τοσαύτῃ διαλάμπουσιν, ὡς κατὰ μηδενὸς μηδεπώποτε πεπαρῳνηκέναι; ἀφιλάργυροι δὲ τοσοῦτον εἰσίν, ὡς καὶ τὰ δικαίως προσόντα τοῖς δεομένοις διανεῖμαι; ἀλλ' ἀνεξίκακοι τοσοῦτον εἰσίν, ὡς καὶ τοὺς εἰκῇ ὑβρίζοντας, καὶ αἰτιωμένους φέρειν; τἄλλα δὲ αὐτοῖς πρόσεστι πλεονεκτήματα, ἃ τὸν ἄριστον ποιμένα ὑπογράφων ὁ Παῦλος ἐξέφρασε. τί ἐστι τὸ ἐπᾶραν αὐτοὺς εἰς τοσαύτην ἐκβακχευθῆναι μανίαν; δέον γὰρ ἀγαπᾶν, ὅτι εἰς τὴν τῶν ὑπηκόων τάξιν τελοῦσι. σιωπῶ γὰρ ὅτι ἐξ ὧν δρῶσι, καὶ ταύτης, εἴ τι τῶν δεόντων ἐγίνετο, δίκαιοι ἂν ἦσαν ἐξοστρακισθῆναι.

ςρακιαθῶσι, τῶν ἀνεφίκτων ἐφίενται, καὶ ἐπισκοπῆς ἔρωτα ἑαυτοῖς τρέφουσι, καὶ τὸν ἀπόστολον τὸν τὸ ὀλέθριον αὐτῶν πάθος ἰάσασθαι σπουδάσαντα, ὡς συνηγοροῦντα τῷ νοσήματι αὐτῶν εἰς μαρτυρίαν προβάλλονται. ἐγὼ μὲν βουλόμενον τὸν λόγον καὶ αὐτῶν ὁρμῆσαι, καὶ τὰς ἡνίας ἀφεῖναι ὠδίνοντα, κεφαλαιωδεστέρων τε ἅψασθαι πραγμάτων, καὶ δεῖξαι ὡς οὐδὲ εἰς χριστιανοὺς τελεῖν δίκαιοι ἂν εἶεν οἱ οὕτως εἰς τὰς ἱερὰς ἐνυβρίζοντες γραφὰς καὶ παίζοντες ἐν οὐ παικτοῖς, ἐπέχον μὲν ἀνάγκῃ πολλῇ, ὥσπερ ἵππον εἰς πεδίον ὁρμῶντα τῷ χαλινῷ ἀνακρούσας, εἰς δὲ τὴν ἑρμηνείαν τοῦ ῥητοῦ βαδίσαι προτρεψάμενος. τί οὖν ἔφη ὁ θεσπέσιος ἀνήρ, ὁ πολυόμματος νοῦς, ὁ τὴν ἀρχὴν ταύτην ἀμέμπτως διοικήσας, εἴ τις ἐπισκοπῆς ὀρέγεται. οὐκ εἶπε, πᾶς τις ἐπισκοπῆς ὀρεγέσθω· οὐ προσέταξεν, οὐκ ἐκέλευσεν, οὐκ ἐνομοθέτησεν. ἀλλ' ἐπειδὴ ᾔδει τοὺς πολλοὺς τῇ φιλαρχίᾳ μεθύοντας, καὶ ἀρετῆς μὲν μὴ ἐφιεμένους, ἀρχῆς δὲ ἀντιποιουμένους, καὶ τοὺς μὲν τῆς ἐπισκοπῆς μὴ συνορῶντας ἱδρῶτάς τε καὶ πόνους καὶ κινδύνους, φροντίδας τε καὶ ἀγρυπνίας· εἰς αὐτὸν γὰρ πᾶσαι ἐπαιώρηνται τῶν ὑπηκόων αἱ χρεῖαι. τίνες δέ εἰσιν αὗται; τῶν ἱερωμένων αἱ δοκιμασίαι, τῶν πεινώντων αἱ τροφαὶ, τῶν διψώντων τὰ πόματα, τῶν γυμνῶν τὰ ἄμφια, τῶν ἀδικουμένων αἱ προστασίαι, τῶν ὀρφανίαν ὀδυρομένων αἱ κηδεμονίαι, τῶν χηρῶν ἡ ἀντίληψις, τῶν ἀδικούντων αἱ ἐπεξελεύσεις, τῶν παρανόμως ἄρχειν πειρωμένων ἔλεγχοι, τῶν ἀρρωστούντων αἱ θεραπεῖαι, τῶν σκανδαλιζομένων ἐκπυρώσεως αἱ ἐπανορθώσεις, τῶν ἐν δεσμωτηρίοις αἱ λύσεις, τῶν ἐν συμφοραῖς αἱ παραμυθίαι, τῶν πταιόντων οἱ σωφρονισμοί. ἐπεὶ τοίνυν ταῦτα πάντα, καὶ πολλῷ τούτων πλείονα, ἅπερ, ἵνα μὴ πάντα καταλέγων μηκύνω τὸν λόγον, παρέλιπον, τῆς ἐπισκοπῆς ἐχούσης τὰ ἆθλα. τίνες ἀρχὴν

cōtrà ea appetunt, quæ cōsequi nequeunt, atque Episcopatus amorē in seipsis alunt, Apostolúmque, qui exitialem eorū morbum profligare studuit, tanquam morbo suo patrocinantem testem citant. Equidē ipse orationem, aduersus eos impetum facere gestientē, habenásque omnes remittere properantē, résque magis summarias attingere, atque illud demonstrare, ne dignos quidē qui inter Christianos censeantur, eos esse, qui in sacras Scripturas ita cōtumeliosi sunt, sicque in minimè ludicris rebus ludunt, summa vi retium, ac tanquā equum in campum ruentē fræno retraxi: eámque, vt ad huiusce dicti explorationē sese cōferret, impuli. Quid igitur diuinus ille vir dixit? illa inquā oculatissima mens, ille, inquam, qui huiusmodi imperiū sine vlla reprehensionis nota administrauit? Si quis Episcopatum desiderat. Non dixit, Vnusquisque Episcopatum desideret. Nō præcepit: non imperauit: non legē sanxit. Verùm quoniam multos esse norat, qui dominandi cupiditate, velut ebrietate quadā correpti tenerentur, ac virtutem quidem minimè expeterent, imperium autē affectarēt, atque Episcopatus labores & sudores ac pericula, curásq; & vigilias minimè perspicerent (ad eum enim omnia ea, quibus subditi opus habēt, suspensa sunt. quæ tandem ista? eorum, qui diuino cultui cōsecrati sunt, explorationes, esurientiū alimoniæ, sitientium pocula, nudorum indumenta, eorum, quibus iniuriæ inferuntur, præsidium, eorum, qui orbitatem lugent, procurationes, viduarum defensio, eorū, qui iniuriam inferunt, vltiones, eorū, qui flagitiosè ac scelerate imperiū gerere conantur, reprehensiones, ægrotorum curationes, eorum, qui ob tentationes offenduntur, correctiones, eorum, qui in vinculis tenentur, solutiones, eorum, qui in calamitatibus versantur, consolationes, eorum, qui in peccatum labuntur, castigationes) quoniā, inquam, cùm hæc omnia, ac multò etiam his plura, quæ ne singulis commemorandis sermonem in longū producam, à me prætermissa sunt, certamina

Episcopatus habeas, quidam tamen animi oblectationē ac delicias eum esse arbitrabantur, atque nec viribus suis perpensis, nec imperij magnitudine considerata ad huiusmodi negotium prosiliebant, vt periculosum hunc impetum reprimeret, eósque, ne munus, quod plerorūmque captū ac facultatem excederet, temerè aggrederētur, moneret, his verbis vsus est, Si quis Episcopatum desiderat, bonum opus desiderat. Nō dixit, Quilibet desideret: probè enim facit (sic enim locutus fuisset, si non opus ipsum, sed eius amore flagrantē laudare voluisset, ) sed, bonum opus desiderat. Vt enim omittam quòd arduum negotium, quódque ægrè confici possit, opus appellant non modò ij, qui apud Gentiles eruditi habiti sunt, sed etiā Scripturæ sacræ, cùm aiunt, Virum fidelem operosa res est inuenire, id quod ab omnibus intelligitur, eloquar. Opus est hęc res, vir optime, non ludus atque animi oblectatio: cura, non luxus: munus referēdis rationibus obnoxium, non imperium ab omni censura liberum atque immune: paterna procuratio non tyrannica licentia: dispensatoria præfectura, nō eiusmodi potestas quæ sub reddendarum rationum necessitatem minimè cadat. Ego Episcopatus opus mirificè laudo; diuinum enim est, ipsius autem amorem minimè laudo. periculosus enim est. Non dico, bene facit; neque enim, ne probatissimos quidem viros hunc amorē in animo alere, verùm pro viribus expellere oportet. Vide quemadmodum Apostolus, (qui huiusmodi certaminis periculum fecerat, innumerísque sudoribus diffluebat, ac ne quis eorum, qui ipsius fidei commissi fuerant, quantum quidē in ipso erat, intereat, in vulneribus & plagis, atque insidiis & mortibus versabatur) eos, qui imperia ambiunt, vt harum palęstrarū expertes & imperitos, atque honorem solum ob oculos sibi proponentes metu terroréque afficiat, ac modò non agitato capite clamet, Si quis Episcopatum desiderat, labores intueatur, atque illud spectet, an ferendis illis par esse queat. Pericula cō-

καὶ ἄνεσιν καὶ τρυφὴν αὐτὴν εἶναι ᾤοντο, καὶ μήτε τὰ καθ' ἑαυτοὺς ἐξετάσαντες, μήτε τὸ μέγεθος τῆς ἀρχῆς ἐννοήσαντες, ἐπεπήδων τῷ πράγματι, ἀναστέλλων αὐτῶν τὴν κινδυνώδη ὁρμὴν, καὶ διδάσκων μὴ πράγματι ἁπλῶς ἐγχειρεῖν τοῖς πολλοῖς ἀνεφίκτῳ ἔφη, Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. οὐκ εἶπε, πᾶς τις ὀρεγέσθω. καλῶς γὰρ ποιεῖ. τοῦτο γὰρ ἂν εἶπεν, εἴγε μὴ τὸ ἔργον, ἀλλὰ τὸν ἐρῶντα ἐπαινέσαι ἠβουλήθη, ἀλλὰ καλοῦ ἔργου. ἵνα γὰρ παρῶ, ὅτι τὸ δύσκολον καὶ δυσκατόρθωτον πρᾶγμα ἔργον καλοῦσιν, οὐ μόνον οἱ ἐξ ἐθνῶν σοφοὶ, ἀλλὰ καὶ αἱ ἱεραὶ γραφαὶ, λέγουσαι, Ἄνδρα δὲ πιστὸν ἔργον εὑρεῖν. τὸ παρὰ πάντων νοούμενον φράσω. ἔργον ἐστὶν, ὦ βέλτιστε, τὸ πρᾶγμα, οὐκ ἄνεσις. φροντὶς, οὐ τρυφή. λειτουργία ὑπεύθυνος, οὐκ ἀρχὴ ἀνεξέταστος. πατρικὴ κηδεμονία, οὐ τυραννικὴ αὐτονομία. οἰκονομικὴ προστασία, οὐκ ἀλογοθέτητος ἐξουσία. ἐγὼ τὸ ἔργον τῆς ἐπισκοπῆς ὑπερφυῶς ἐπαινῶ. θεῖον γάρ. τὸν δ' ἔρωτα τὸν ἐπ' αὐτῇ οὐκ ἐπαινῶ. σφαλερὸς γὰρ, οὐ λέγω καλῶς ποιεῖ. οὐ γὰρ χρὴ τὸν ἔρωτα τοῦτον, οὐδὲ τοὺς λίαν εὐδοκίμους ἐν τῇ ψυχῇ τρέφειν, ἀλλὰ παντὶ σθένει ἐξωθεῖν. θέα τὸν ἀπόστολον, ἔμπειρον ὄντα τοῦ ἀγῶνος τούτου, καὶ μυρίοις ἱδρῶσι καταρρεόμενον καὶ τραύμασι καὶ πληγαῖς, καὶ ἐπιβουλαῖς, καὶ θανάτοις ὁμιλοῦντα, ἵνα μηδεὶς τῶν ἐμπιστευθέντων αὐτῷ τόγε αὐτοῦ μέρος ἀπόληται, πῶς ἐκφοβεῖ καὶ δεδίττεται τοὺς ἀρχοντιῶντας, ἅτε ἀπείρους τούτων τῶν ἀγωνισμάτων, καὶ πρὸς μόνην τὴν τιμὴν ὁρῶντας, καὶ μονονουχὶ κινῶν τὴν κεφαλὴν βοᾷ, Εἴ τις ἐπισκοπῆς ὀρέγεται, βλεπέτω τοὺς πόνους, καὶ σκοπείτω εἰ πρὸς τούτους ἀρκέσαι δύναται. ὁράτω τοὺς κινδύνους. ἐπ' αὐτὸν γὰρ φράττονται ἀόρατοι καὶ ὁρατοὶ πολλάκις ἐχθροί, καὶ μὴ ἐννοείτω μόνον τὴν τιμήν. θεάσθω τοὺς θανάτους,

καὶ μὴ τὴν

καὶ μὴ τὴν τρυφὴν συνοράτω τὰς ἐπιβουλὰς καὶ τὰς φροντίδας. καὶ μὴ πρὸς τὴν ἄνεσιν νευέτω. ἴστω ὅτι εἴτις εἰς ἐκεῖνον ἀχθείη τὸν θρόνον, χειροτονεῖται νομίμως ἀθλήσων, ἀλλ᾽ οὐκ ἀκινδύνως τρυφήσων. ὁ γὰρ τῆς τιμῆς μόνης ἐγκρατὴς γενόμενος, καὶ τἄλλα πάντα τὰ τῇ ἐπισκοπῇ προσήκοντα δίκαια παρεωρακὼς, ἐνταῦθα μὲν μυρίαις βληθήσεται κατηγορίαις, ἔσθ᾽ ὅτε δὲ καὶ καθαιρεθήσεται τῆς τοιαύτης ἀξίας, ἐκεῖσε δὲ καταβοηθήσεται παρὰ τῷ ἀδεκάστῳ κριτῇ, ἐπὶ τοῦ φοβεροῦ ἐκείνου βήματος. τῶν μὲν πεινώντων βοώντων, ὅτι ἡμεῖς μὲν οὐδὲ τῆς ἀναγκαίας ἀπελαύσαμεν τροφῆς. οὗτος δὲ τρυφήσας καὶ χρηματισάμενος τὰ λοιπὰ εἰς οἰκείας ἀνήλωσε φιλοτιμίας. τῶν δὲ γυμνῶν λεγόντων, ὅτι ἀργαλεώτερος ἡμῖν οὗτος τοῦ χειμῶνος ἐγένετο. τῶν δὲ ἀῤῥωστούντων, ὅτι τοῦ νοσήματος ἡμῖν βαρύτερος ὤφθη. καὶ τῶν μὲν ὀρφανῶν, οὐκ ἀπελαύσαμεν, οὐδὲ μιᾶς προστασίας, τῶν δὲ χηρῶν, οὐκ ἐδάνεισεν ἡμῖν οὗτος παραμυθίας λόγον. τῶν δὲ δεσμωτῶν, οὐκ ἐπάταξεν ἡμῖν οὗτος συμπαθείας δάκρυον. τῶν δ᾽ ἐν συμφοραῖς, οὐκ ὄρεξεν ἡμῖν οὗτος θεραπείας χεῖρα, καὶ συλλήβδην εἰπεῖν, πάντων ὧν ἐπίσκοπος κεχειροτόνηται καταβοώντων. τί οἴει τὸν ἀδέκαστον ποιῆσαι κριτήν; οὐ κολάσειν σφοδρότερον, τὸν μηδὲ τῇ τιμῇ βελτίω γενόμενον; παντὶ μὲν δήπου δῆλόν ἐστιν. εἰ δέ τις ἀπιστεῖ, καὶ τὴν ἀπόφασιν αὐτῷ ἀναγνώσομαι. διχοτομήσει γὰρ, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. ταῦτ᾽ οὖν ἐννοοῦντες μὴ παίζωμεν εἰς τὰ θεῖα. οἱ γὰρ εἰς τὸ ἴδιον λογοθέσιον μόλις ἐπαρκέσαντες, ὅταν καὶ τοσούτων δήμων καταῤῥήσεις κατασκευάσωμεν ἑαυτοῖς, ποῦ φανούμεθα.

spiciat (aduersus eũ enim armis instruuntur inuisibiles, ac plerunque etiam visibiles inimici) ac non honorem suum animo perpendat. Mortes contempletur: non delicias. Insidias & curas conspiciat: non autem in voluptatem animíque remissionẽ oculos coniiciat. Illud sciat, quòd si quis ad hunc thronum euehatur, idcirco instituitur, vt legitimè certet, non autem vt citra periculum in luxu ac deliciis versetur. Nam qui honoris solius compos effectus est, aliáque omnia iura, quæ ad Episcopatus administrationem attinent, cõtempsit ac pro nihilo duxit, tum hîc sexcentis probris incessetur, atque etiam interdum de huiusmodi honoris gradu deiicietur: tum illic apud incorruptum iudicem in tremẽdo illo tribunali clamoribus exagitabitur, nimirum fame oppressis clamantibus, Nobis ne necessariò quidem alimento frui contigit, hic autem in luxu ac congerendis pecuniis versatus, reliqua in ambitionibus suis consumpsit: nudis autem dicentibus, Hic nobis vi frigoris acerbiorem se præbuit: ægrotis item, Grauiorem se nobis hic, quàm morbus, exhibuit: pupillis, Nihil ab hoc opis ac præsidij consecuti sumus: viduis, Hic consolatoriam orationem minimè nobis commodauit: in vincula coniectis, Hic nullas commiserationis lacrymas nobis fudit: calamitosis, Hic medicam manum nobis minimè porrexit: ac denique, vt summatim dicam, omnibus iis, quorũ Episcopus creatus est, eum clamore insectantibus. Quid porro incorruptum illum iudicem facturum putas? An non in eum acriùs animaduersurum, qui ne ex ipso quidem honore melior effectus est? Nemini profectò id obscurũ est. Quòd si quis meis verbis diffidit, sententiã quoque ipsi recitabo. Diuidet enim eum, partémque eius cũ infidelibus ponet. Hæc igitur cum animis nostris reputantes, diuinas res ludibrio ne habeamus. Nam qui priuatis etiã rationibus reddẽdis vix pares fuerimus, posteaquã tot populorũ clamores & insectationes nobisipsis comparauerimus, vbi tandẽ os nostrum ostendemus?